μεν; ¶ Δοκεῖ μοι, ἔφη, πρὸς τὴν δικαιοσύνην. ¶ Ἐὰν
δέ τις υἱὸν ἑαυτοῦ δεόμενον φαρμακείας καὶ μὴ προσιέ-
μενον φάρμακον ἐξαπατήσας, ὡς σῖτον τὸ φάρμα-
κον δῷ, καὶ τῷ ψεύδει χρησάμενος οὕτως ὑγιᾶ ποιήσῃ,
ταύτην αὖ τὴν ἀπάτην ποῖ θετέον; ¶ Δοκεῖ μοι, ἔφη,
καὶ ταύτην εἰς τὸ αὐτό. ¶ Τί δέ; ἄν τις, ἐν ἀθυ-
μίᾳ ὄντος φίλου, δείσας μὴ διαχρήσηται ἑαυτὸν, κλέ-
ψῃ ἢ ἁρπάσῃ ἢ ξίφος ἢ ἄλλο τι τοιοῦτον, τοῦτο αὖ
ποτέρωσε θετέον; ¶ Καὶ τοῦτο νὴ Δί', ἔφη, πρὸς τὴν
18 δικαιοσύνην. ¶ Λέγεις, ἔφη, σὺ οὐδὲ πρὸς τοὺς
φίλους ἅπαντα δεῖν ἁπλοΐζεσθαι; ¶ Μὰ Δί', οὐ δῆτα,
ἔφη· ἀλλὰ μετατίθεμαι τὰ εἰρημένα, εἴπερ ἔξεστι.
¶ Δεῖ γέ τοι, ἔφη ὁ Σωκράτης, ἐξεῖναι πολὺ μᾶλ-
19 λον, ἢ μὴ ὀρθῶς τιθέναι. Τῶν δὲ δὴ τοὺς φίλους
ἐξαπατώντων ἐπὶ βλάβῃ (ἵνα μηδὲ τοῦτο παραλεί-
πωμεν ἄσκεπτον) πότερος ἀδικώτερός ἐστιν, ὁ ἑκὼν
ἢ ὁ ἄκων; ¶ Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔτι μὲν ἔγωγε
πιστεύω, οἷς ἀποκρίνομαι· καὶ γὰρ τὰ πρόσθεν πάν-
τα νῦν ἄλλως ἔχειν δοκεῖ μοι, ἢ ὡς ἐγὼ τότε ᾤμην.
ὅμως δὲ εἰρήσθω μοι, ἀδικώτερον εἶναι τὸν ἑκόντα
20 ψευδόμενον τοῦ ἄκοντος. ¶ Δοκεῖ δέ σοι μάθησις
καὶ ἐπιστήμη τοῦ δικαίου εἶναι, ὥσπερ τῶν γραμμά-
των; ¶ Ἔμοιγε. ¶ Πότερον δὲ γραμματικώτερον
κρίνεις,

ſatiuo rei, ſequente genitiuo perſonae. In Pariſ. 2 τῆς ἀθυμίας τοὺς στρατιώτας. In margine vero annotatur diuerſa lectio: ῥαθυμίας τοῦ στρατεύματος.

υἱὸν ἑαυτοῦ] Similem locum laudant Lucretii I, 935: *Sed velut pueris abſinthia taetra medentes cum dare conantur, prius oras pocula circum contingunt mellis dulci flauoque liquore* etc.

σῖτον] Pro σιτίον recepi ſcripturam Stobaei, vt Xenophonteam.

ὑγιᾶ] Stob. ὑγιῆ, perperam. vid. ad IV, 3, 13.

αὖ τὴν] Sic recte Caſt., Stob. et Steph., ſed vett. edd. αὐτήν.

τί δὲ, ἂν] Stob. τί δαὶ, ἐάν, bene, ſed ib. mox διαχρήσεται, male.

ἢ ξίφος] Ibid. abeſt ἢ, et mox eſt τοιοῦτο pro τοιοῦτον, et praetermittitur ἔφη.

§. 18. ἅπαντα] Int. κατὰ, *in rebus omnibus*.

§. 19. παραλείπωμεν] Edd. vett. et Stob. παραλίπωμεν, et marg. Steph. παραλείπω, ſed pluralis eſt modeſtiae Socraticae conuenientior.

καὶ γὰρ] Deeſt γὰρ in Iunt.

ᾤμην] Sic Stob. et Steph. Sed in edd. vett. eſt ᾠόμην, ſed contra Atticismum.

§. 20. καὶ ἐπιστήμη] Stobaeus omiſit καὶ.